# TEZAUR LITURGIC

## 25 IANUARIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIC AUXENTIE DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 25 ΙΑΝΟΥΑΡΙΟΣ
# ΑΥΞΕΝΤΙΟΣ ΝΕΟΜΑΡΤΥΣ ΒΕΛΛΑΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· Μακάριος ἀνήρ. Εἰς δὲ τό· Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Αὐξήσας τὸν πόθον πρὸς Χριστόν, Ἀθλητὰ Αὐξέντιε, ὑπὲρ Αὐτοῦ χαίρων ἤθλησας, στεῤῥῷ φρονήματι, καὶ τῆς ἀσεβείας, ᾔσχυνας τὴν φάλαγγα, δυνάμει ἀηττήτῳ τῆς πίστεως, δι' ἧς ἠρίστευσας, καὶ Μαρτύρων ἰσοστάσιος, ἀνεδείχθης ἐν ὑστέροις ἔτεσι.

Ἠπείρου ἀγλάϊσμα σεπτόν, Ἀθλητὰ Αὐξέντιε, καὶ Ἐκκλησίας ἑδραίωμα, ἐδείχθης Ἅγιε, ἐν τῇ Κωνσταντίνου, πόλει θείῳ ἔρωτι, ἀνύσας μαρτυρίου τὸ στάδιον· διὸ τὴν μνήμην σου, τὴν ἁγίαν ἑορτάζοντες, ἀνυμνοῦμεν τὸν σὲ ἐνισχύσαντα.

Κηρύξας τὸ ὄνομα Χριστοῦ, Ἀθλητὰ Αὐξέντιε, ἐπὶ ἀπίστων στεῤῥότατα, οὐδόλως ἔπτηξας, τούτων τὴν μανίαν, καὶ θυμὸν τὸν ἄλογον, ἀλλ' ἤνεγκας σαρκὸς

τὰ ἐπίπονα, ὡς ἄλλου πάσχοντος, καὶ Μαρτύρων διαδήματι, ἐκοσμήθης τμηθεὶς τὸν αὐχένα σου.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἀνδρείως ἠγώνισαι, Νεομάρτυς Αὐξέντιε, τὸν Χριστὸν ἐδόξασας τῇ ἀθλήσει σου, καὶ εὐσεβείας τὴν δύναμιν, τοῖς πᾶσιν ὑπέδειξας, καρτερίᾳ αἰκισμῶν, καὶ ἐχθρῶν καταβέβληκας, τὰ φρυάγματα· διὰ τοῦτο τὴν μνήμην σου τελοῦντες, ὡς Χριστοῦ σε στρατιώτην, περιφανῆ μακαρίζομεν.

Καὶ εἱρκτὴν χαίρων ἤνεγκας, καὶ κακώσεις τοῦ σώματος, ῥαβδισμοὺς καὶ μάστιγας ὥσπερ ἄσαρκος, καὶ ὀφθαλμοῦ σου τὴν ἔκχυσιν, ὀδόντων τὴν σύντριψιν, τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἀνενδότως ῥωννύμενος, Μάρτυς ἔνδοξε, καὶ τμηθεὶς τὸν αὐχένα καταρδεύεις, τῶν αἱμάτων σου τοῖς ῥείθροις, τῆς Ἐκκλησίας τοὺς αὔλακας.

Τῆς Ἠπείρου τὸ βλάστημα, τῶν Μαρτύρων τὸν σύναθλον, τὸν κλεινὸν Αὐξέντιον εὐφημήσωμεν· τῷ γὰρ Χριστῷ στρατευσάμενος, ὑστέροις ἐν ἔτεσιν, ἠγωνίσατο καλῶς, καὶ θεόθεν δεδόξασται, θείοις θαύμασι, καὶ παρέχει ἰάσεις τοῖς ἐν πίστει, προσκυνοῦσι καὶ τιμῶσιν, αὐτοῦ τὴν κάραν τὴν πάντιμον.

Δόξα. Ἦχος β'.

Τῶν Μαρτύρων ὑπελθὼν τὸ σκάμμα, μαρτυρικῆς εὐκλείας ἠξιώθης, Ἀθλοφόρε Αὐξέντιε. Φερωνύμως γὰρ αὐξήσας, τὴν πρὸς Χριστὸν ἀγάπην, ὡς ὄναρ πάντα λελόγισαι, καὶ αὐτοκλήτως ὥρμησας, πρὸς τοὺς ἀγῶνας τῆς ἀθλήσεις. Καὶ ἀνδρείᾳ γνώμῃ, διελέγξας τὴν πλάνην, τὸν Χριστὸν ἐδόξασας, λόγοις καὶ ἄθλοις ἀτρέπτοις, καὶ τῇ χύσει τοῦ αἵματος· ὅθεν ἀξίως ἐδοξάσθης, ὡς γενναῖος ὁπλίτης, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ' 9-14)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν

ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Λιτή. Ἦχος α'.

Ἀθλητικὸν ἀνύσας ἀγῶνα, τῆς ἀφθαρσίας ἐδέξω τὸ γέρας, Νεομάρτυς Αὐξέντιε. Σαὐτὸν γὰρ ἀρνησάμενος, ἠκολούθησας Χριστῷ, καὶ σύμμορφος Αὐτοῦ ἐγένου, ἐν τῇ ἀπεκδύσει τῆς ὕλης. Καὶ οἰκείοις αἵμασι βαφείς, ὡς καλὸς στρατιώτης, ταῖς ἄνω συνήφθης χορείαις, καὶ μαρτυρικῆς στάσεως ἠξίωσαι, πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β'.

Τῇ εὐσεβείᾳ ἐγγυμνασάμενος, ἀθλητικὴν ἐπεδείξω ἀνδείαν, Ἀθλοφόρε Αὐξέντιε, ἀναθεὶς γὰρ Κυρίῳ, ἀπειλὰς τυράννων οὐκ ἔπτηξας, ἀλλ' εὐθαρσῶς ὡμολόγησας, τὴν καλὴν ὁμολογίαν. Καὶ Χριστοῦ τὸ ὄνομα, παῤῥησίᾳ κηρύξας, τὴν ἀπάτην ἐθριάμβευσας, ἀπεριτρέπτῳ στάσει. Αἰκισμῶν γὰρ ἀνώτερος ὤφθης, καὶ ἀλγηδόνων σαρκὸς οὐκ ἐφρόντισας, βοῶν ἐν χαρᾷ· οὐδέν με χωρίσει, τῆς ἀγάπης Χριστοῦ, τοῦ παρέχοντος πιστοῖς, ζωὴν τὴν αἰώνιον.

Ἦχος γ'.

Ἀναστροφῇ ἁγίᾳ, πτερωθεὶς θείῳ ἔρωτι, ἀπτοήτως ὥρμησας πρὸς τοὺς ἀγῶνας τῆς ἀθλήσεως. Καὶ τῆς σαρκὸς μὴ φεισάμενος, οἷα διαπιπτούσης, πόνων ὑπερεῖδες, καὶ δωρεῶν ἠλόγησας, οὐρανίῳ φρονήματι. Καὶ τοῦ ἐχθροῦ καθελὼν τὸ θράσος, τὸ τῆς νίκης στέφος, παρὰ Χριστοῦ ἐδέξω, Νεομάρτυς Αὐξέντιε. Ὧ πρέσβευε δεόμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Μαρτυρικῇ ἐνστάσει καλλωπιζόμενος, τυραννικὴν ἐξεφαύλισας ἰσχύν, ἐν δυνάμει τῆς πίστεως, καὶ στεῤῥότητι ψυχῆς, Ἀθλητὰ Αὐξέντιε. Καὶ γενναίως ἐνεγκών, ὀφθαλμοῦ τὴν κάκωσιν, καὶ τῶν ὀδόντων τὴν συντριβήν, τῶν ἐχθρῶν τὸ κράτος συνέτριψας, καὶ τοῖς πιστοῖς χαρὰν παρέσχες, ἐν τῇ ἁγία ἀθλήσει σου.

Δι’ αὐτῆς γὰρ πᾶσιν ἀνακηρύττεις, ὅτι Ἰησοῦς Χριστός, χθὲς καὶ σήμερον, ὁ Αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

Δόξα. Ἦχος πλ. β΄.

Τῆς θείας ἀγάπης γεωργῶν τὸν πλοῦτον, τῆς εὐσεβείας τοὺς καρποὺς προήγαγες, ἀθλητικαῖς ἀριστείαις, Ἀθλοφόρε Αὐξέντιε. Νομίμως γὰρ ἠγωνίσω, καὶ τῇ σῇ ἀνδρείᾳ ἀνεζωγράφησας, τῶν πάλαι Μαρτύρων τὸ σθένος. Αὐτῶν γὰρ ὤφθης μιμητής, καὶ ἐν ζήλῳ κοινωνός, καὶ τῆς δόξης μέτοχος. Μεθ’ ὧν ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Ὁ τῶν Μαρτύρων κτησάμενος τὸν ζῆλον, ὅτε πρὸς τὸ στάδιον, τὸ τῆς ἀθλήσεως, ἀνδρειοφρόνως ἐχώρησας, τῶν ἐπιγείων, καταφρονήσας τὴν ματαιότητα, τότε ὡμολόγησας Χριστοῦ τὸ ὄνομα, ἐπὶ ἀπίστων Αὐξέντιε, φωνῇ μεγάλῃ, καὶ τῆς ἀγάπης τὸ ψεῦδος ἤλεγξας· ὅθεν ἀθλήσας καρτερώτατα, ἀφθαρσίας ἐδέξω τὸν

στέφανον, καὶ πρεσβεύεις ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στ.: Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Τοὺς αἰκισμοὺς τῆς σαρκὸς μὴ δειλιάσας, μηδὲ τὴν ἀτίθασον, γνώμην Αὐξέντιε, τῶν δυσσεβούντων πτοούμενος, νοΐ τελείῳ, ἁπάντων ὤφθης Μάρτυς ὑπέρτερος, ὧν σοι καθυπέσχοντο δοῦναι μακάριε, πρὸς τὰ ἀεὶ διαμένοντα, σκοπῶν ἐμφρόνως, ὧν ἠξιώθης ἀθλήσας ἄριστα, καὶ μεγαλύνας τοῖς σοῖς μέλεσι, τὸν Σωτῆρα τῶν ὅλων καὶ Κύριον, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στ.: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Τοῦ μαρτύριου τὸν δρόμον ἐκτελέσας, καὶ ῥείθροις αἱμάτων σου φοινίξας Ἅγιε, τῆς ἀφθαρσίας τὸ ἔνδυμα, χαίρων ἀνῆλθες, πρὸς τὸν νυμφῶνα δόξης τῆς κρείττονος· ἐντεῦθεν ἰάματα πηγάζεις ἄφθονα, τοῖς προσιοῦσιν ἐκ πίστεως, τῇ δοξασθείσῃ, Πνεύματος χάριτι θείᾳ κάρᾳ σου. Ἀλλὰ καὶ πᾶσι τοῖς γεραίρουσι, τὴν σεπτὴν Ἀθλητά σου πανήγυριν, πειρασμῶν λύσιν αἴτει, καὶ πταισμάτων ἀπολύτρωσιν.

Δόξα. Ἦχος πλ. δ΄.

Τὰ ὅπλα τῆς πίστεως, περιζωσάμενος Αὐξέντιε, τὸν ἐχθρὸν κατέτρωσας, ἀθλητικῷ παραστήματι. Οὐ κατεπλάγης γὰρ Ἅγιε, τὴν φρυαττομένην τούτου

ἰσχύν, ἀλλ' εὐτόνως αὐτὴν κατέλυσας, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ. Καὶ νῦν τῆς μακαρίας ἀπολαύων θεώσεως, σὺν Μάρτυσι πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Ἠπείρου τὸν γόνον καὶ θεῖον βλάστημα, ὡς Χριστοῦ Ἀθλοφόρον καὶ Νέον Μάρτυρα, εὐφημοῦμέν σε πιστῶς Μάρτυς Αὐξέντιε· σὺ γὰρ ἀθλήσας ἀνδρικῶς, ἐτροπώσω τὸν ἐχθρόν, καὶ δόξης μετέσχες θείας, διὰ παντὸς ἱκετεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ὅμοιον.

Νεομάρτυρα μέλψωμεν ἀκατάβλητον, Βελλᾶς Ἠπείρου τὸν γόνον, ἐν Βασιλίδι καλῶς, τὸν ἀγῶνα μαρτυρίου περατώσαντα, πάνυ Αὐξέντιον, πιστοὶ ἀπολαῦσαι βιοτῆς, ἐν πόθῳ ἀξιωθέντα, ἀλήκτου καὶ θεῖον πρέσβυν, ἡμῶν πρὸς Κύριον γενόμενον.

Καὶ νῦν ... Θεοτοκίον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Ἀπόλυσις.

**ΟΡΘΡΟΣ**

Μετὰ τὴν α' Στιχολογίαν,

Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.

Αὐξήσας πρὸς Χριστόν, τὴν ἀγάπησιν μάκαρ, ὑπῆλθες σταθερῶς, μαρτυρίου τὸ σκάμμα, καὶ πᾶσαν καταβέβληκας, τῶν ἐχθρῶν τὴν παράταξιν· ὅθεν σήμερον, τὴν ἄθλησίν σου ὑμνοῦντες, ἑορτάζομεν, τὴν σὴν Αὐξέντιε μνήμην, Χριστὸν μεγαλύνοντες.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως τὸν Χριστόν, ἀπεκύησας Κόρη, τὸν σώσαντα ἡμᾶς, τῆς ἀρχαίας κατάρας, Αὐτὸν οὖν καθικέτευε, ὡς Αὐτοῦ Μήτηρ εὔσπλαγχνος, δοῦναι ἄφεσιν, καὶ φωτισμὸν σωτηρίας, τοῖς δοξάζουσι, τοῦ ἀνεκφράστου Σου τόκου, τὸ μέγα μυστήριον.

Μετὰ τὴν β’ Στιχολογίαν,
Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀνδρείῳ φρονήματι καὶ ἀπτοήτῳ ψυχῇ, σαρκὸς τὰ ἐπίπονα καθυποστὰς Ἀθλητά, τὴν πλάνην κατήσχυνας· ξίφει δὲ τὸν αὐχένα, ἐκτμηθεὶς Νεομάρτυς, ἔτεμες τοῦ βελίαρ, τὴν δεινὴν κακουργίαν· διό σε ὁ Δεσπότης, Αὐξέντιε ἐδόξασε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θεὸν Ὃν ἐκύησας ἐκ τῶν αἱμάτων τῶν Σῶν, δι’ ἄφατον ἔλεος καινοποιοῦντα ἡμᾶς, φθαρέντας τοῖς πάθεσι, πάντοτε ἐκδυσώπει, Θεοτόκε Παρθένε, δοῦναι τῇ οἰκουμένῃ, τῆς εἰρήνης τὸν πλοῦτον, καὶ ἄφεσιν πταισμάτων, τοῖς Σὲ μεγαλύνουσι.

Μετὰ τὸν Πολυέλεον,
Κάθισμα. Ἦχος δ’. Ἐπεφάνης σήμερον.

Ἐν τῇ πόλει ἤθλησας, τοῦ Κωνσταντίνου, καὶ χαρὰν οὐράνιον, καὶ δόξαν νέμεις ἀληθῆ, τῇ σῇ πατρίδι Αὐξέντιε, ἀνευφημούσῃ τὰ θεῖά σου σκάμματα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἐξ ἁγνῶν αἱμάτων Σου, ἀνερμηνεύτως, σαρκωθεὶς ὁ Κύριος, σώζει ἁγνὴ ἐκ τῆς ἀρᾶς, τοὺς εὐσεβῶς Σοι κραυγάζοντας· χαῖρε Παρθένε, ἀνθρώπων βοήθεια.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στ.: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. κα', 12-19)
Ὁ Ν' ψαλμός.
Δόξα: Ταῖς τοῦ Ἀθλοφόρου...
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: Ἐλέησόν με ὁ Θεός...
Τῷ θείῳ πόθῳ τρωθείς, σφαλλομένης ἀγωγῆς ἀνανήψας, τὸν Χριστὸν ἐδόξασας, μαρτυρικοῖς ἀγῶσι, Νεομάρτυς Αὐξέντιε. Καὶ τῆς πλάνης ταπεινώσας τὴν ὀφρύν, ῥείθροις τῶν αἱμάτων σου, τοὺς πιστοὺς ἡγίασας· ἀλλ' ἀπαύστως πρέσβευε Χριστῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς: Ἐν σοί, ὦ Αὐξέντιε, Ἤπειρος χαίρει. Γερασίμου.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἐν ταῖς λαμπρότησι Μάρτυς τῶν οὐρανῶν, σὺν Μαρτύρων τάγμασι, ἐν χαρᾷ χοροβατῶν, φωτισμόν μοι αἴτει πρὸς Χριστοῦ, ἀνυμνοῦντί σου Αὐξέντιε τὴν ἄθλησιν.

Νενευρωμένος τῇ χάριτι τοῦ Χριστοῦ, Νέος Μάρτυς πέφηνας, ἐναθλήσας ἀνδρικῶς, καὶ καθεῖλες πᾶσαν τὴν ἰσχύν, τοῦ ἀρχαίου πολεμήτορος Αὐξέντιε.

Σαρκὸς ὑπείξας Αὐξέντιε ταῖς ῥοπαῖς, ἀλλὰ γνώμῃ κρείττονι, τὴν ψυχὴν ἀλλοιωθείς, ἐναρέτοις τρόποις σεαυτόν, προεγύμνασας ἐμφρόνως πρὸς τὴν ἄθλησιν.

Ὁλολαμπὴς ἐξ Ἠπείρου νέος ἀστήρ, ἐναθλήσας πέφηνας, ἐν ὑστέροις τοῖς καιροῖς, καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καταυγάζεις νοηταῖς ἀκτῖσιν Ἅγιε.

Θεοτοκίον.

Ἱερωτάτων αἰνίγματα Προφητῶν, καὶ ῥήσεις θεόφθογγοι, καὶ φωναὶ πνευματικαί, ἐν Σοὶ πέρας ἔλαβον ἁγνή, ὡς τεκούσῃ τὸν ἐν τούτοις πρὶν λαλήσαντα.

Ὠδὴ γ’. Οὐκ ἔστιν Ἅγιος.

Ὡς πλήρης θάρσους θεϊκοῦ, ἀπτοήτως εἰσῆλθες, πρὸς ἀθλήσεως πόνους, τοῖς ἀπίστοις ἐκβοῶν· Χριστῷ λατρεύω πιστῶς, ὡς Θεῷ μου, σύνετε ὦ ἄνομοι.

Αὐξήσας Μάρτυς πρὸς Χριστόν, τῆς ψυχῆς σου τὸν πόθον, τῶν γηΐνων τὴν σχέσιν, ἀπηρνήσω νουνεχῶς, καὶ ἐν ἀθλήσει στεῤῥᾷ, ἠγωνίσω, εὐσεβῶς Αὐξέντιε.

Ὑπὸ τῆς ἄνωθεν ῥοπῆς, κρατυνθεὶς Ἀθλοφόρε, τῆς σαρκὸς οὐκ ἐφείσω, αἰκιζομένης σφοδρῶς· ἀλλ’ ὡς Χριστοῦ ἀριστεύς, πάντα φέρεις, καρτερῶς Αὐξέντιε.

Θεοτοκίον.

Ξενοπρεπῶς δίχα φθορᾶς, ἐν μορφῇ τῇ βροτείᾳ, τὸν ἀσώματον Λόγον, προαγαγοῦσα ἡμῖν, φθοροποιῶν με παθῶν, Θεοτόκε, λύτρωσαι καὶ σῶσόν με.

Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τῶν αἱμάτων τοῖς ῥείθροις ἐχθρὸν κατέκλυσας, καὶ στεφάνῳ τῆς δόξης λαμπρῶς κεκόσμησαι, ἐν ὑστέροις τοῖς καιροῖς ἀθλήσας ἔνδοξε, καὶ δοξάσας τὸν Χριστόν, ἐν τοῖς μέλεσι τοῖς σοῖς, Αὐξέντιε Νεομάρτυς· Ὃν ἐκδυσώπει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἀπειράνδρως τεκοῦσα τὸν ὑπερούσιον, μορφωθέντα δι' οἶκτον ἐκ Σοῦ τὸν ἄνθρωπον, τὴν κατάραν τοῦ Ἀδὰμ πᾶσαν ἠφάνισας, καὶ ἠνέῳξας ἡμῖν, εὐλογίας τὴν πηγήν, τῷ τόκῳ Σου Θεοτόκε· διό Σε ὑμνολογοῦμεν, ὡς σωτηρίας ἡμῖν πρόξενον.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἐγγυμνασάμενος, σαφῶς τὸ πρότερον, πολιτείᾳ ἀμέμπτῳ καὶ καθαρᾷ, εἶτα πρὸς τὴν ἄθλησιν, ἀναφθλεχθεὶς πόθῳ Χριστοῦ, προσεχώρησας Αὐξέντιε.

Νομίμως ἤθλησας, ἐχθρὸν κατήσχυνας, καὶ χαρᾶς πολλῆς ἔπλησας τοὺς πιστούς, ἐν ὑστέροις ἔτεσι, τῶν Ἀθλητῶν τὴν ἀρετήν, μιμησάμενος Αὐξέντιε.

Τὸ τῆς καρδίας σου, ὄμμα πρὸς Κύριον, ἀνατείνων Αὐξέντιε ὁλικῶς, καρτερῶς ὑπέμεινας, τοῦ ὀφθαλμοῦ σου τὴν δεινήν, διαστρέβλωσιν καὶ ἔκχυσιν.

Ἰσχύϊ κρείττονι, ἐνδυναμούμενος, τῶν ὀδόντων τὴν πτῶσιν φέρεις στεῤῥῶς, ἀπηνῶς τυπτόμενος, καὶ τὴν τῆς πλάνης συντριβήν, ἐργαζόμενος Αὐξέντιε.

Θεοτοκίον.

Ἐκ Σοῦ γεγέννηται, δι’ ἀγαθότητα, ὁ πρὸ πάντων αἰώνων ἐκ τοῦ Πατρός, προελθὼν πανάμωμε, καὶ ἀναγέννησιν ἡμῖν, σωτηρίας ἐδωρήσατο.

Ὠδὴ ε’. Τῷ θείῳ φέγγει Σου ἀγαθέ.

Ἤνεγκας Μάρτυς καρτερικῶς, τῶν ποδῶν ῥαβδίσματα πολλά, ἀπεριτρέπτῳ φρονήματι, ὡς βαδίζων τρίβον τὴν τῆς ἀθλήσεως, καὶ τοῦ ἐχθροῦ πατήσας τὰ μηχανήματα.

Πεπυρσευμένος θείῳ φωτί, ἔλυσας ἀπάτης τὴν ἀχλύν, ἀκτῖσι τῆς καρτερίας σου, καὶ τοῖς τῶν αἱμάτων ῥείθροις Αὐξέντιε, ἐτύφλωσας τὸν πτέρναν τηροῦντα δράκοντα.

Ἐν εὐφροσύνῃ τὴν τῆς εἱρκτῆς, φέρεις ἐγκατάκλειισιν σοφέ, νοῒ τελείῳ σκοπούμενος, τὰ τῆς ἄνω δόξης θεῖα σκηνώματα, ὧν ὡς Χριστοῦ ὁπλίτης ἤδη ἠξίωσαι.

Θεοτοκίον.

Ἰσχὺν ἀήττητον ἐνδυθείς, ἐν τῷ Σῷ ναῷ πίστει θερμῇ, ὁ Νεομάρτυς Αὐξέντιος, Κόρη προσεδρεύων πᾶσαν ἐπάτησεν, ἰσχὺν τὴν ὀλεθρίαν τοῦ κοσμοκράτορος.

Ὠδὴ στ’. Τοῦ βίου τὴν θάλασσαν.

Ῥημάτων σου Ἅγιε, ὁ ἐχθρὸς μὴ ἐνεγκών, τὴν δύναμιν Αὐξέντιε, σὲ προστάττει ῥαβδίζεσθαι ἀπηνῶς· Χριστὸν γὰρ ἐκήρυττες, ἀλγηδόνων ὑπέρτερος δεικνύμενος.

Ὁ Μάρτυς Αὐξέντιος, τῆς Ἠπείρου ὁ βλαστός, Μαρτύρων ἰσοστάσιος, μαρτυρήσας νομίμως ὑπὲρ Χριστοῦ, ἐδείχθη καὶ ἄφθονα, ἀναβλύζει τοῖς πάσχουσιν ἰάματα.

Συνέσει κοσμούμενος, οὐκ ἐφείσω τῆς σαρκός, ἀλλὰ ταύτην παρέδωκας, δι' ἀγάπην Κυρίου πρὸς αἰκισμούς, καὶ θάνατον Ἅγιε, ἀθανάτου ζωῆς καταξιούμενος.

Θεοτοκίον.

Χαρᾶς ἡμῖν πρόξενος, καὶ ζωῆς ἀληθινῆς, ἐδείχθης Μητροπάρθενε, τῆς ζωῆς τετοκυῖα τὸν ἀρχηγόν, τὸν λύσαντα ἅπασαν, τοῦ θανάτου τὴν δύναμιν δι' ἔλεος.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὴν λαμπράν σου ἄθλησιν, ἀνευφημοῦντες, δι' ἧς ὤφθης σύμμορφος, τῶν πάλαι θείων Ἀθλητῶν, χαῖρέ σοι πάντες κραυγάζομεν, ὦ Νεομάρτυς, παμμάκαρ Αὐξέντιε.

Ὁ Οἶκος.

Φερωνύμως αὐξήσας Αὐξεντιε, πρὸς Χριστὸν τῆς ψυχῆς σου τὸν ἔρωτα, τῶν γηΐνων ἁπάντων ἠλόγησας, καὶ Μαρτύρων τοῖς ἴχνεσιν ἔδραμες, ἀγωνισάμενος καλῶς, καὶ καθελὼν τὸν δυσμενῆ· σὺ γὰρ ἐσφαλμένης ἀποστὰς πολιτείας, ἐν εὐσεβείᾳ ἀληθεῖ, καὶ ἐγκρατείᾳ συντόνῳ, καὶ νηστείᾳ καὶ προσευχῇ, πρὸς ἀθλητικοὺς ἀγῶνας σεαυτὸν προεγύμνασας. Οὓς θεοπρεπῶς ὑπελθών, καὶ Χριστὸν δοξάσας μαρτυρικῶς, αἰκισμῶν

στεῤῥότερος ὤφθης, καὶ ξίφει τὸν αὐχένα ἐτμήθης. Καὶ στεφάνῳ δόξης παρὰ Χριστοῦ ταινιωθείς, χάριν ἰαμάτων παρέχεις, καὶ προΐστασαι τῶν σὲ τιμώντων, καὶ τὴν σὴν μνήμην τελούντων,
ὦ Νεομάρτυς παμμάκαρ Αὐξέντιε.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Νεομάρτυς Αὐξέντιος, ἐκ Βέλλας Ἰωαννίνων, ἐν Κωνσταντινουπόλει, ἐν ἔτει 1720, ξίφει τελειοῦται.

Αὐξεντίῳ στέφανος ηὐξήθη μέγας,
Εἰς οὐράνια διὰ τοῦ μαρτυρίου.
Εἰκάδι πέμπτῃ Αὐξεντίοιο κέρσαν ἀπηνεῖς δειρήν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀπερίτρεπτος τυράννων δελεάσμασι, καὶ ἀπειλαῖς διέμεινας, τῇ ἀγάπῃ ἐρηρεισμένος, μάκαρ ἀκλινῶς, Χριστοῦ ᾧ ἐβόας Ἀθλητά· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἰαμάτων ἀναβλύζει χάριν ἄφθονον, ἡ σεβασμία κάρα σου, καὶ ἰᾶται νόσους ποικίλας, χάριτι Χριστοῦ, ἐμφαίνουσα πᾶσιν ἐμφανῶς, ἣν εὗρες ἐν τοῖς οὐρανοῖς, θείαν ἀπόλαυσιν.

Ῥείθροις ἔσβεσας αἱμάτων σου τοὺς ἄνθρακας, τῆς ἀσεβείας ἔνδοξε, καὶ θυμηδίας ἁγίας δρόσον, ἔβλυσας ἡμῖν, Αὐξέντιε νέε Ἀθλητά, τοῖς μεγαλύνουσι Χριστόν, τὸν σὲ δοξάσαντα.

Ἐκτμηθείς σου τὸν αὐχένα πᾶσαν ἔτεμες, τῆς πλάνης ματαιότητα, καὶ ἐν δόξῃ Χριστῷ ἀνῆλθες, ᾧ καὶ συναφθείς, ὁρᾷς τελεώτερον Αὐτοῦ, Αὐξέντιε τὴν ὑπὲρ νοῦν, θείαν λαμπρότητα.

Θεοτοκίον.

Ἰατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, Χριστὸν τὸν παντοδύναμον, ἴασαί μου ψυχῆς τὸ ἄλγος, καὶ τὰς τοῦ νοός, θεράπευσον Κόρη ἐκτροπάς, τοῖς οἰκτιρμοῖς Σου τοῖς πολλοῖς, ἐπικαμφθεῖσα ἁγνή.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Γενναιότητι γνώμης ἀντιταξάμενος, τῇ ὁρμῇ τῶν τυράννων Μάρτυς Αὐξέντιε, ἤθλησας στεῤῥῶς, καὶ ψυχὰς ἐβεβαίωσας, τὰς κλονιζομένας, τῇ πίστει τοῦ Σωτῆρος.

Ἐπαυξήσας Μαρτύρων τὸ θεῖον στράτευμα, ὡς προσθήκη γενόμενος τούτοις Ἅγιε, δόξης ὑπὲρ νοῦν, ἠξιώθης Αὐξέντιε, σὺν αὐτοῖς δοξάζων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥαντισθὲν ταῖς σταγόσι ταῖς τῶν αἱμάτων σου, τὸ σὸν λείψανον Μάρτυς πιστοὶ ἐκήδευσαν, σὺν τῷ εὐκλεεῖ, Πατριάρχῃ Αὐξέντιε, πόνοις μαρτυρίου, λαμπρῶς δεδοξασμένον.

Θεοτοκίον.

Ἀνωτέρα Ἀγγέλων καὶ πάσης κτίσεως, λαμπροτέρα ἡλίου καὶ πάσης φαύσεως, ὤφθης ἀληθῶς, Θεοτόκε κυήσασα, τῆς δικαιοσύνης, τὸν Ἥλιον ἀφράστως.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις.

Στεφάνῳ δόξης κατακοσμούμενος, ὡς Ἀθλητὴς Κυρίου καὶ ὁπλίτης περίδοξος, θεϊκῆς μετουσίας τὴν ἔλλαμψιν, δρέπῃ πλουσιωτάτως Μάρτυς Αὐξέντιε, καὶ τὴν ὑπὲρ λόγον, ἀπολαύεις ὡραιότητος.

Ἰδόντες Μάρτυς τὴν ἐπιλάμπουσαν, τοῖς σοῖς σεπτοῖς λειψάνοις Παρακλήτου ἐνέργειαν, ὅτε ἤνοιξαν τὸν τάφον σου Ἅγιε, ὀσμῆς ἐπουρανίου πάντες ἐπλήσθησαν, καὶ ᾔνεσαν θεόφρον, τὸν δοξάσαντά σε Κύριον.

Μετ' εὐλαβείας τὴν θείαν κάραν σου, πηγάζουσαν ἰάματα ποικίλα Αὐξέντιε, ὡς ἁγίασμα θεῖον μετήνεγκαν, ἐν τῷ Ἁγίῳ Ὄρει καθαγιάζουσαν, τοὺς πίστει ἀδιστάκτῳ, προσιόντας ταύτῃ Ἅγιε.

Ὁ Νεομάρτυς Χριστοῦ Αὐξέντιος, τὸ τῆς Ἠπείρου θεῖον καὶ σεπτὸν ἐγκαλλώπισμα, τὴν παροῦσάν μου αἴνεσιν πρόσδεξαι, ὡς προσφορὰν ἁγίαν καὶ δῶρον τίμιον, καὶ δίδου μοι πταισμάτων, ἱλασμὸν ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Ὑμνοῦμεν Κόρη τὸ τῆς λοχείας Σου, τῆς ὑπὲρ νοῦν καὶ λόγον μέγα ὄντως μυστήριον, τὸν Θεὸν γὰρ ἀφράστως ἐκύησας, ἐκ Σοῦ σάρκα λαβόντα καὶ κόσμον σώσαντα, τὸ χαῖρέ Σοι Παρθένε, ὀρθοδόξως ἀνακράζοντες.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοῦ μαρτυρίου ἤνυσας, καρτερῶς τοὺς ἀγῶνας, στοιχειωθεὶς Αὐξέντιε, τοῦ Χριστοῦ τῇ ἀγάπῃ, καὶ τῶν Μαρτύρων τῆς δόξης, κοινωνὸς ἀνεδείχθης. Μεθ' ὧν ἀπαύστως πρέσβευε, ἱλασμὸν καὶ πταισμάτων ἀπαλλαγήν, δοῦναι τοῖς τιμῶσί σε Νεομάρτυς, καὶ τὴν ἁγίαν μνήμην σου, ἑορτάζουσι πόθῳ.

Θεοτοκίον.

Τὸν Ποιητὴν τῆς κτίσεως, καὶ Θεὸν τῶν ἁπάντων, ἀνερμηνεύτως τέτοκας, Θεοτόκε Παρθένε· Ὃν ὡμολόγησαν δῆμοι, τῶν Μαρτύρων ἀθλοῦντες, ἐν οἷς ἀρτίως ἔλαμψε, καὶ Αὐξέντιος Κόρη καταβαλών, τὴν τοῦ παλαμναίου ἐχθροῦ κακίαν. Μεθ' οὗ Σε μεγαλύνομεν, ὡς ἡμῶν προστασίαν.

Αἶνοι. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὸν πόθον δεχθεὶς Αὐξέντιε, πρὸς μαρτυρίου ἄθλους, ἀπεδύσω ἀνδρείως, Χριστοῦ τὴν θείαν κλῆσιν ὁμολογῶν, παῤῥησίᾳ ἀτρέπτῳ σου, καὶ ἐκτμηθεὶς τὸν αὐχένα τῶν Ἀθλητῶν, ταῖς χορείαις συνηρίθμησαι.

Ὁ ἀθλοθέτης δοξάζων τοὺς θείους ἄθλους σου, φωτὶ ἐπουρανίῳ, τὸ σὸν ἅγιον σκῆνος, κατηύγασε δεικνύων πᾶσι τρανῶς, Νεομάρτυς Αὐξέντιε, ἥν σοι παρέσχετο δόξαν ἐν οὐρανοῖς, καὶ ἀΐδιον λαμπρότητα.

Ἠπείρου παῖδες προθύμως καὶ φιλεόρτων χοροί, τὸν νέον τοῦ Σωτῆρος, Ἀθλητὴν καὶ ὁπλίτην, ὑμνήσωμεν συμφώνως καὶ πρὸς αὐτόν, ἐκ καρδίας βοήσωμεν· χαίροις Αὐξέντιε Μάρτυς τοῦ Ἰησοῦ, Ἐκκκλησίας νέον στήριγμα.

Τοῦ Παρακλήτου ἡ χάρις ἐπισκιάσασα, τῇ σῇ ἁγίᾳ κάρᾳ, πηγὴν ἔδειξε ταύτην, ποικίλων ἰαμάτων τοῖς εὐλαβῶς, προσιοῦσιν Αὐξέντιε· ἀλλ’ ἐκ παντοίων κινδύνων ῥῦσαι ἡμᾶς, τοὺς ὑμνοῦντάς σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος πλ. α΄.

Τὴν δοθεῖσάν σοι κλῆσιν, ἀληθεύουσαν ἔδειξας, Ἀθλοφόρε Αὐξέντιε· ἐν γὰρ αὐξήσει θείας ἀγάπης, ὅλος ἀναφλεχθείς, μαρτυρικῶς διέπρεψας, οἰκείῳ αἵματι δοξάσας, τὸν τῆς δόξης Κύριον. Καὶ ἐν ἀθλήσει τελειωθείς, τῶν Ἀθλητῶν τὸν δῆμον ηὔξησας, συνόμιλος αὐτῶν γενόμενος. Μεθ’ ὧν ἱκέτευε Νεομάρτυς, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν

κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Ζήλῳ τῶν Μαρτύρων πυρποληθείς, ἤθλησας νομίμως, καὶ κατήσχυνας τὸν ἐχθρόν· ὅθεν σε γεραίρει, Ἤπειρος ἡ πατρίς σου, ἣν σκέπε πάσης βλάβης, Μάρτυς Αὐξέντιε.

